# ΙΩΑΝΝΟΥ Β

**1** Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν
ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν, **2** διὰ
τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ’ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα· **3** ἔσται
μεθ’ ἡμῶν χάρις ἔλεος εἰρήνη παρὰ θεοῦ πατρός, καὶ ⸀παρὰ Ἰησοῦ Χριστοῦ τοῦ
υἱοῦ τοῦ πατρός, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

**4** Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ,
καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός. **5** καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ
ὡς ἐντολὴν ⸂καινὴν γράφων σοι⸃ ἀλλὰ ἣν εἴχομεν ἀπ’ ἀρχῆς, ἵνα ἀγαπῶμεν
ἀλλήλους. **6** καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς
αὐτοῦ· αὕτη ⸂ἡ ἐντολή ἐστιν⸃, καθὼς ἠκούσατε ἀπ’ ἀρχῆς, ἵνα ἐν αὐτῇ
περιπατῆτε. **7** ὅτι πολλοὶ πλάνοι ⸀ἐξῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες
Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.
**8** βλέπετε ἑαυτούς, ἵνα μὴ ⸀ἀπολέσητε ἃ ⸀εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη
⸀ἀπολάβητε. **9** πᾶς ὁ ⸀προάγων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ θεὸν
οὐκ ἔχει· ὁ μένων ἐν τῇ ⸀διδαχῇ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. **10** εἴ
τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν
εἰς οἰκίαν καὶ χαίρειν αὐτῷ μὴ λέγετε· **11** ὁ ⸂λέγων γὰρ⸃ αὐτῷ χαίρειν κοινωνεῖ
τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

**12** Πολλὰ ἔχων ὑμῖν γράφειν οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος, ἀλλὰ
ἐλπίζω ⸀γενέσθαι πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ⸀ὑμῶν
⸂πεπληρωμένη ᾖ⸃. **13** Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ⸀ἐκλεκτῆς.

---

**3** **παρὰ** WH Treg NIV ] + κυρίου RP **5** **καινὴν γράφων σοι** Treg NIV ] γράφων σοι καινὴν WH RP **6** **ἡ ἐντολή ἐστιν** WH Treg NIV ] ἐστιν ἡ ἐντολή RP **7** **ἐξῆλθον** WH Treg NIV ] εἰσῆλθόν RP **8** **ἀπολέσητε** WH Treg NIV ] ἀπολέσωμεν RP • **εἰργασάμεθα** WH RP NA ] εἰργάσασθε Treg NIV • **ἀπολάβητε** WH Treg NIV ] ἀπολάβωμεν RP **9** **προάγων** WH Treg NIV ] παραβαίνων RP • **διδαχῇ** WH Treg NIV ] + τοῦ Χριστοῦ RP **11** **λέγων γὰρ** WH Treg NIV ] γὰρ λέγων RP **12** **γενέσθαι** WH Treg NIV ] ἐλθεῖν RP • **ὑμῶν** WH Treg ] ἡμῶν NIV RP • **πεπληρωμένη ᾖ** WH NIV ] ᾖ πεπληρωμένη Treg RP **13** **ἐκλεκτῆς** WH Treg NIV ] + Ἀμήν RP